σφάξαι Μενοικέα τόνδε δεῖ σ' ὑπὲρ πάτρας,
σὸν παῖδ', ἐπειδὴ τὴν τύχην αὐτὸς καλεῖς.
ΚΡ. τί φής; τίν' εἶπας τόνδε μῦθον, ὦ γέρον;
ΤΕΙ. ἅπερ πέφυκε, ταῦτα κἀνάγκη σε δρᾶν.
ΚΡ. ὦ πολλὰ λέξας ἐν βραχεῖ χρόνῳ κακά.
ΤΕΙ. σοί γ', ἀλλὰ πατρίδι μεγάλα καὶ σωτήρια.
ΚΡ. οὐκ ἔκλυον, οὐκ ἤκουσα· χαιρέτω πόλις.
ΤΕΙ. ἁνὴρ ὅδ' οὐκέθ' αὑτός· ἐκνεύει πάλιν.
ΚΡ. χαίρων ἴθ'· οὐ γάρ σῶν με δεῖ μαντευμάτων.
ΤΕΙ. ἀπόλωλεν ἡ ἀλήθει', ἐπεὶ σὺ δυστυχεῖς;
ΚΡ. ὦ πρός σε γονάτων καὶ γερασμίου τριχός,
ΤΕΙ. τί προσπίτνεις με; δυσφύλακτ' αἰνεῖ κακά.
ΚΡ. σίγα· πόλει δὲ τούσδε μὴ λέξῃς λόγους.
ΤΕΙ. ἀδικεῖν κελεύεις μ'· οὐ σιωπήσαιμεν ἄν.
ΚΡ. τί δή με δράσεις; παῖδά μου κατακτενεῖς;
ΤΕΙ. ἄλλοις μελήσει ταῦτ', ἐμοὶ δ' εἰρήσεται.
ΚΡ. ἐκ τοῦ δ' ἐμοὶ τόδ' ἦλθε καὶ τέκνῳ κακόν;
ΤΕΙ. ὀρθῶς μ' ἐρωτᾷς κεἰς ἀγῶν' ἔρχει λόγων.
δεῖ τόνδε θαλάμαις, οὗ δράκων ὁ γηγενὴς
ἐγένετο Δίρκης ναμάτων ἐπίσκοπος,
σφαγέντα φόνιον αἷμα γῇ δοῦναι χοὰς
Κάδμου, παλαιῶν Ἄρεος ἐκ μηνιμάτων,
ὃς γηγενεῖ δράκοντι τιμωρεῖ φόνον.
καὶ ταῦτα δρῶντες σύμμαχον κτήσεσθ' Ἄρη.
χθὼν δ' ἀντὶ καρποῦ καρπὸν ἀντί θ' αἵματος
αἷμ' ἢν λάβῃ βρότειον, ἕξετ' εὐμενῆ
γῆν, ἥ ποθ' ἡμῖν χρυσοπήληκα στάχυν
σπαρτῶν ἀνῆκεν· ἐκ γένους δὲ δεῖ θανεῖν
τοῦδ' ὃς δράκοντος γέννος ἐκπέφυκε παῖς.
σὺ δ' ἐνθάδ' ἡμῖν λοιπὸς εἶ σπαρτῶν γένους
ἀκέραιος, ἔκ τε μητρὸς ἀρσένων τ' ἄπο,
οἵ σοί τε παῖδες. Αἵμονος μὲν οὖν γάμοι

---

915. schol.: *γράφεται καὶ οὕτως· τί φής; ἐμὸν παῖδ' ἕνεκα γῆς σφάξαι θέλεις.* 920. *οὐκέθ' αὑτός*] Valckenaerius, *οὐκέτ' αὐτός* libri. 924. *αἰνεῖ*] Hermannus et Schneidewinus, *αἰτῇ* et *αἰτεῖς* libri. 927. *κατακτανεῖς* C 931. *θαλάμοις* C 936. *ἄρην* BFC 939. *ὑμῖν* bc 940. *ἐγγόνους* bc